### XXVII [Asclep. XXXVIII G.–P.]

εἰ καθύπερθε λάβοις χρύσεα πτερά, καί σευ ἀπ᾽ ὤμων
τείνοιτ᾽ ἀργυρέων ἰοδόκος φαρέτρη,
καὶ σταίης παρ᾽ Ἔρωτα φιλάγλαον, οὐ μὰ τὸν Ἑρμῆν
οὐδ᾽ αὐτὴ Κύπρις γνώσεται ὃν τέτοκε.

### XXVIII [Asclep. XXXIX G.–P.]

Κύπριδος ἅδ᾽ εἰκών· φέρ᾽ ἰδώμεθα μὴ Βερενίκας·
διστάζω ποτέρᾳ φῇ τις ὁμοιοτέραν.

### XXIX [XXXIV G.–P.]

] Μοῦσαι φίλαι ἐστὶ τὸ γράμμα
τ]ῶν ἐπέων σοφίῃ
]ν ἄνδρα καί ἐστί [μ]οι ὥσπερ ἀδε[λ]φός
]ν κάλ᾽ ἐπισταμέν[ω]ν.

## THEAETETUS

### I

— ὄλβια τέκνα γένοισθε. τίνες γένος ἐστέ; τί δ᾽ ὑμῖν
ὧδε καλοῖς χαρίεν κείμενόν ἐστ᾽ ὄνομα;
Ν. Νικάνωρ ἐγώ εἰμι, πατὴρ δέ μοι Εὐπτοίητος,
μήτηρ δ᾽ Ἡγησώ, κεὶμὶ γένος Μακεδών.
Φ. καὶ μὲν ἐγὼ Φίλα εἰμὶ καὶ ἔστι μοι οὗτος ἀδελφός,
ἐκ δ᾽ εὐχῆς τοκέων ἔσταμες ἀμφότεροι.